Polymestor relates his woes

ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι
τέκν᾽ ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιντο, διαδοχαῖς ἀμείβουσαι χερῶν·
κᾆτ᾽ ἐκ γαληνῶν — πῶς δοκεῖς; — προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν᾽ ἐκ πέπλων ποθὲν
κεντοῦσι παῖδας, αἱ δὲ πολεμίων δίκην
ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα· παισὶ δ᾽ ἀρκέσαι χρῄζων ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμόν,
κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,
πλήθει γυναικῶν οὐδὲν ἦνυον τάλας.
τὸ λοίσθιον δέ, πῆμα πήματος πλέον,
ἐξειργάσαντο δείν᾽· ἐμῶν γὰρ ὀμμάτων,
πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
κεντοῦσιν, αἱμάσσουσιν· εἶτ᾽ ἀνὰ στέγας
φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ
θὴρ ὡς διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ᾽ ἐρευνῶν †τοῖχον ὡς κυνηγέτης†
βάλλων ἀράσσων.

Euripides Hecuba 1157-1175